# 164. THE TIME THAT NO ONE KNOWS (Matt-Mk identical)

| Matt 24:32-44 | Mark 13:28-37 |
|---|---|
| *Ἀπὸ δὲ τῆς συκῆς* | *Ἀπὸ δὲ τῆς συκῆς* |
| | |
| *μάθετε τὴν παραβολήν·* | *μάθετε τὴν παραβολήν·* |
| *ὅταν ἤδη ὁ κλάδος αὐτῆς* | *ὅταν ἤδη ὁ κλάδος αὐτῆς* |
| *γένηται ἁπαλὸς* | *ἁπαλὸς γένηται* |
| *καὶ τὰ φύλλα ἐκφύῃ,* | *καὶ ἐκφύῃ τὰ φύλλα,* |
| | |
| *γινώσκετε* | *γινώσκετε* |
| *ὅτι ἐγγὺς τὸ θέρος·* | *ὅτι ἐγγὺς τὸ θέρος ἐστίν.* |
| *33 οὕτως καὶ ὑμεῖς,* | *29 οὕτως καὶ ὑμεῖς,* |
| *ὅταν ἴδητε πάντα ταῦτα,* | *ὅταν ἴδητε ταῦτα γινόμενα,* |
| *γινώσκετε ὅτι ἐγγύς ἐστιν* | *γινώσκετε ὅτι ἐγγύς ἐστιν* |
| | |
| *ἐπὶ θύραις.* | *ἐπὶ θύραις.* |
| *34 ἀμὴν λέγω ὑμῖν ὅτι* | *30 ἀμὴν λέγω ὑμῖν ὅτι* |
| *οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη* | *οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη* |
| *ἕως ἂν πάντα ταῦτα γένηται.* | *μέχρις οὗ ταῦτα πάντα γένηται.* |
| *35 ὁ οὐρανὸς καὶ ἡ γῆ* | *31 ὁ οὐρανὸς καὶ ἡ γῆ* |
| *παρελεύσεται,* | *παρελεύσονται,* |
| *οἱ δὲ λόγοι μου* | *οἱ δὲ λόγοι μου* |
| *οὐ μὴ παρέλθωσιν.* | *οὐ μὴ παρελεύσονται.* |
| *36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης* | *32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης* |
| *καὶ ὥρας οὐδεὶς οἶδεν,* | *ἢ τῆς ὥρας οὐδεὶς οἶδεν,* |
| *οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν* | *οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ* |
| *οὐδὲ ὁ υἱός,* | *οὐδὲ ὁ υἱός,* |
| *εἰ μὴ ὁ πατὴρ μόνος.* | *εἰ μὴ ὁ πατήρ.* |
| *37 ὥσπερ γὰρ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.* | |
| *38 ὡς γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ γαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν,* | |
| *39 καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.* | |

| | |
|---|---|
| *40 τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, εἶς παραλαμβάνεται καὶ εἶς ἀφίεται·* | |
| *41 δύο ἀλήθουσαι ἐν τῷ μύλῳ, μία παραλαμβάνεται καὶ μία ἀφίεται.* | |
| | *33 βλέπετε ἀγρυπνεῖτε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν.* |
| | *34 ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ.* |
| *42 γρηγορεῖτε οὖν,* | *35 γρηγορεῖτε οὖν,* |
| *ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ* | *οὐκ οἴδατε γὰρ πότε* |
| *ὁ κύριος ὑμῶν ἔρχεται.* | *ὁ κύριος τῆς οἰκίας ἔρχεται,* |
| | *ἢ ὀψὲ ἢ μεσονύκτιον ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ,* |
| | *36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας.* |
| | *37 ὃ δὲ ὑμῖν λέγω, πᾶσιν λέγω, γρηγορεῖτε.* |
| *43 ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν διορυχθῆναι τὴν οἰκίαν αὐτοῦ.* | |
| *44 διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ οὐ δοκεῖτε ὥρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.* | |

168 matches out of 365 words = 46%